www.tezaurliturgic.ro

# ΙΟΥΛΙΟΥ ΚΔ΄
# ΜΝΗΜΗ ΤΗΣ ΑΓΙΑΣ ΠΑΡΘΕΝΟΜΑΡΤΥΡΟΣ ΧΡΙΣΤΙΝΗΣ

## ΕΙΣ ΤΟΝ ΜΙΚΡΟΝ ΕΣΠΕΡΙΝΟΝ

Ἱστῶμεν στίχ. δ΄ καὶ ψάλλομεν τὰ κάτωθι Στιχηρὰ Προσόμοια.

Ἦχος α΄. Τῶν οὐρανίων ταγμάτων.

Τῆς χριστωνύμου ἐνδόξου, Παρθενομάρτυρος, τὴν φαεινὴν ἡμέραν, ἐκτελέσωμεν πόθῳ, αὐτῇ ἀναβοῶντες· Τοὺς εὐσεβῶς, ὦ Χριστίνα γεραίροντας, τὴν σεβασμίαν σου ἄθλησιν τῷ Θεῷ, ἱκεσίαις σου οἰκείωσον.

Ἐκ δυσσεβοῦς ῥιζουχίας, ἄνθος ἐξήνθησας, πανευπρεπὲς Χριστίνα, θεϊκῇ γεωργίᾳ, καὶ ἔπνευσας τῷ κόσμῳ μαρτυρικῶς, ἐν σταδίῳ ἀθλήσασα, τὴν εὐωδίαν τὴν ἄῤῥητον τοῦ Χριστοῦ, τῆς ἁγίας μάρτυς πίστεως.

Πολυειδέσι βασάνοις, ἐγκαρτερήσασα, τῶν ἀσεβῶν τυράννων, τὰς ἐπάρσεις καθεῖλες, καὶ πέλταις δεξαμένη διὰ Χριστόν, ὦ Χριστίνα τὸν θάνατον, πρὸς τὴν ἀείζωον ἔβης ἀναψυχήν, ἡμῖν χάριν πρυτανεύουσα.

Ἀθλητικῇ σου ἐνστάσει, ὡς καρτερόψυχος, τὸν πτερνιστὴν τῆς Εὔας, καταισχύνασα Μάρτυς, θεόθεν ὑπεδέξω στέφος λαμπρόν, καὶ φωτὸς εἰσελήλυθας, εἰς φωτοφόρους θαλάμους τὸν φωτισμόν, αἰτουμένη τοῖς τιμῶσί σε.

Δόξα Πατρί. Ἦχος δ΄.

Παρθενομάρτυς Χριστίνα πολύαθλε, χαῖρε καὶ εὐφραίνου, ὅτι ἀπὸ τῶν ἀποκτεινόντων τὸ σῶμα μὴ φοβηθεῖσα, ἐν τῷ σταδίῳ ἐπέστης κηρύττουσα, τὸ ὑπερύμνητον τοῦ Κυρίου σου ὄνομα· ἐν ᾧ δυναμουμένη, τῶν βασάνων πάντων περιεγένου, ὡς ἀθληφόρος γενναιοτάτη. Ὅθεν τοὺς ἑορτάζοντας τὴν μνήμην σου, ἀπὸ κινδύνων καὶ ἀδοκήτων συμφορῶν, διάσωσον δυνάμει τῆς πρεσβείας σου.

Καὶ νῦν. Θεοτοκίον.

Ἐκ παντοίων κινδύνων, τοὺς δούλους σου φύλαττε, εὐλογημένη Θεοτόκε, ἵνα σε δοξάζωμεν, τὴν ἐλπίδα τῶν ψυχῶν ἡμῶν.

Εἰς τὸν Στίχον, Στιχηρὰ Προσόμοια.
Ἦχος β΄. Οἶκος τοῦ Ἐφραθᾶ.

Μύρον ὡς ἐκλεκτόν, σαυτὴν μάρτυς Χριστίνα, προσήγαγες Κυρίῳ, γενναίως μαρτυρίου, τελέσασα τὸ στάδιον.

Στίχ. Ὑπομένων ὑπέμεινα τὸν Κύριον...

Σύμμαχον τὴν ἰσχύν, πλουτήσασα ἐν ἄθλοις, τῆς πίστεως Χριστίνα, ἐχθροῦ ἀνθρωπολέθρου, τὰς φάλαγγας ἐνίκησας.

Στίχ. Καὶ ἔστησεν ἐπὶ πέτραν τοὺς πόδας μου...

Ἤσχυνας τὴν ὀφρύν, τῶν εἰδωλομανούντων, στεῤῥῶς ἐπεχομένη, Χριστοῦ Χριστίνα μάρτυς, τοῖς ζωηφόροις ῥήμασι.

Δόξα Πατρί. Τριαδικόν.

Σῶσόν με ὁ Θεός, Πάτερ Υἱὲ καὶ Πνεῦμα, ἡ παντουργὸς Θεότης, λιταῖς τῆς ἀθληφόρου, Χρι-

www.tezaurliturgic.ro

στίνης τῆς θεόφρονος.

Καὶ νῦν. Θεοτοκίον.

Δέσποινα διὰ σοῦ, μετήχθημεν ἐκ σκότους, πρὸς φῶς τῆς σωτηρίας· διὸ ὑμνολογοῦμεν, ἀεὶ τὰ μεγαλεῖά σου.

Νῦν ἀπολύεις, τὸ Τρισάγιον, τὸ Ἀπολυτίκιον ἐκ τοῦ Μεγάλου Ἑσπερινοῦ καὶ Ἀπόλυσις.

## ΕΙΣ ΤΟΝ ΜΕΓΑΝ ΕΣΠΕΡΙΝΟΝ

Μετὰ τὸν Προοιμιακόν στιχολογοῦμεν τὸ Μακάριος ἀνήρ. Εἰς δὲ τὸ Κύριε ἐκέκραξα, ἱστῶμεν στίχ. στ΄ καὶ ψάλλομεν τὰ κάτωθι Στιχηρὰ Προσόμοια.

Ἦχος δ΄. Ἔδωκας σημείωσιν.

Θείαις ἐπιγνώσεσι, τὴν καθαράν σου διάνοιαν, καταυγάσας ὁ Κύριος, ἀγνοίας λυτροῦταί σε, βαθυτάτου σκότους, ἥλιος ὑπάρχων, δικαιοσύνης ἀληθοῦς, μάρτυς Χριστίνα θεομακάριστε· ἐντεῦθεν τὰ σεβάσματα, τῆς πονηρίας συνέτριψας, καὶ Χριστοῦ τὰ παθήματα, καρτερῶς ἐξεικόνισας.

Πόνους καρτερήσασα, τοὺς τῆς σαρκὸς πρὸς τὴν ἄπονον, μεταβέβηκας χαίρουσα, Χριστίνα ἀπόλαυσιν, ἔνθα γενομένη, καθωραϊσμένη, οἷά περ νύμφη ἐκλεκτή, τοῦ Βασιλέως Χριστοῦ πανεύφημε, τῶν πίστει τὸ μνημόσυνον, ἐπιτελούντων σου μέμνησο, ὅπως εὕρωμεν ἔλεος, καὶ δεινῶν ἀπολύτρωσιν.

Ὥσπερ ὡραΐσματα, τὰ τῆς σαρκός σου σπαράγματα, νυμφικῶς περιστέλλουσα, πορφύραν ἐξ αἵματος, λαμπρῶς βεβαμμένην, μάρτυς ἐνεδύσω, καὶ τῷ νυμφίῳ σου Χριστῷ, πεποικιλμένη θείαις λαμπρότησι, Χριστίνα νῦν παρίστασαι, περιχαρῶς τῆς θεώσεως, ἀπολαύουσα πάντοτε, σὺν παρθένοις καὶ Μάρτυσι.

Προσόμοια ἕτερα. Ὁ αὐτός. Ὡς γενναῖον ἐν Μάρτυσιν.

Τὴν πατρῴαν δυσσέβειαν, θεοφρόνως μισήσασα, καὶ Χριστὸν τὸν Κύριον ἀγαπήσασα, κολαστηρίων τοῦ σώματος, ἀνδρείως ὑπήνεγκας, ὦ Χριστίνα τὴν φοράν, προσδοκῶσα τὴν ἄπονον, λῆξιν πάνσεμνε, ἧς ἐπέτυχες πέλταις μεταστᾶσα, πρὸς τὰς ἄνω καταπαύσεις, ὡς Ἀθληφόρος ἀήττητος.

Ἀνδρωθεῖσα τὸ φρόνημα, πατρικὴν ἀθεότητα, ἐβδελύξω ἅπασαν καλλιπάρθενε, μὴ πτοηθεῖσα ὡς εὔτονος, βασάνων τὴν ἔφοδον, ἣν ἐνέγκασα στεῤῥῶς, ὑπεδέξω τὸ βίαιον, τέλος χαίρουσα, καὶ παρέστης φαιδρῶς ὡραϊσμένη, τῶν αἱμάτων σου τοῖς λύθροις, Χριστῷ Χριστίνα πολύαθλε.

Θησαυρὸν τὸν ἀκήρατον, τῆς ἁγίας καρδίας σου, ὦ Χριστίνα ἔνδοξε ὁ μισάνθρωπος, ἐχθρὸς συλῆσαι οὐκ ἴσχυσεν· ὡς ἄλλου γὰρ πάσχοντος, καθυπέμεινας δεινῶν, ἀλγηδόνων ἐπίτασιν, καὶ τὸν θάνατον, τῆς ζωῆς τῆς ἀφράστου τῇ ἐλπίδι, ἀψευδῶς βεβαιουμένη, ἐν περισσείᾳ δυνάμεως.

Δόξα Πατρί. Ἦχος β΄. Ἀνατολίου.

Ὡς ἀλάβαστρον μύρου, τὸ αἷμά σου προσενήνοχας, τῷ σῷ νυμφίῳ Χριστῷ, Χριστίνα μάρτυς ἀθληφόρε ἀήττητε· ἀντάμειψιν δὲ εἴληφας, στέφος ἄφθαρτον, παρ᾽ αὐτοῦ ἀξιάγαστε. Ὅθεν τὸν θανόντα τοῖς δήγμασι, τῶν ἰοβόλων ὄφεων, τῷ ῥήματί σου ζῶντα ἤγειρας, τῇ ἐπικλήσει τοῦ Παναγίου Πνεύματος· διὸ καὶ οὐρανίων θαλάμων σε κατηξίωσεν, Ἰησοῦς ὁ φιλάνθρωπος, καὶ Σωτὴρ τῶν ψυχῶν ἡμῶν.

Καὶ νῦν. Θεοτοκίον.

Παρῆλθεν ἡ σκιὰ τοῦ νόμου, τῆς χάριτος ἐλθούσης· ὡς γὰρ ἡ βάτος οὐκ ἐκαίετο καταφλεγομένη, οὕτω Παρθένος ἔτεκες, καὶ Παρθένος ἔμεινας· ἀντὶ στύλου πυρός, δικαιοσύνης ἀνέτειλεν Ἥλιος, ἀντὶ Μωϋσέως Χριστός, ἡ σωτηρία τῶν ψυχῶν ἡμῶν.

Εἴσοδος, τὸ Φῶς ἱλαρόν, τὸ Προκείμενον τῆς ἡμέρας καὶ τὰ Ἀναγνώσματα, ἃ ζήτει ἐν τῇ σελίδι 144 τοῦ παρόντος, ἐν τῇ μνήμῃ τῆς ἁγίας μεγαλομάρτυρος Βαρβάρας.

## ΕΙΣ ΤΗΝ ΛΙΤΗΝ, Ἰδιόμελα.

Ἦχος α΄.

Τὴν καλλιπάρθενον κόρην καὶ ἀθληφόρον πανεύφημον, τὴν νυμφευθεῖσαν μυστικῶς τῷ Χριστῷ, διὰ τῆς στεῤῥοτάτης ἀθλήσεως, Χριστίναν τὴν χριστώνυμον, τὸ τῶν Μαρτύρων ἀγλάϊσμα, καὶ τῶν παρθένων ἀγαλλίαμα, δεῦτε πιστοὶ εὐλαβῶς μακαρίσωμεν. Αὕτη γὰρ τυραννικὰς ἀπειλὰς μὴ πτοηθεῖσα, ἐν ἄθλοις ὑπὲρ φύσιν ἠρί-

www.tezaurliturgic.ro

στευσε, καὶ ἐν φύσεως ἀσθενείᾳ, τὸν ἀρχέκακον ἐχθρὸν ἐθριάμβευσε· διὸ τοῦ πόθου τῆς προμήτορος ἠξίωται, καὶ τοῦ καρποῦ τοῦ ξύλου τῆς ζωῆς, ἀκορέστως ἐτρύγησεν. Ὅθεν αὐτῇ ἐκβοήσωμεν· Παρθενομάρτυς πολύαθλε, πρέσβευε διηνεκῶς τῷ Θεῷ, ὑπὲρ τῶν ψυχῶν ἡμῶν.

Ἦχος β΄.

Ἀπωσαμένη τὴν πατρῴαν δυσσέβειαν, ἐν θεολήπτῳ καρδίᾳ Χριστῷ ἠκολούθησας, ἐν ᾧ κραταιουμένη, ὑπεράνω ἐγένου τῶν φθαρτῶν, Χριστίνα ἀθληφόρε πολύαθλε· διὸ καὶ μέχρις αἵματος ἀντικαταστᾶσα, τῇ βαρβαρικῇ γνώμῃ τοῦ γεννήτορος, μαρτυρικὴν ἐπεδείξω ἀνδρείαν, καὶ ἀθλοφορικῶν στεφάνων κατηξίωσαι. Ὅθεν νῦν ἐν τῷ νυμφῶνι τῆς χαρᾶς, Μαρτύρων τοῖς χοροῖς συναγαλλομένη, καὶ τοῦ φωτὸς τῆς θεώσεως ἀπολαύουσα, πρέσβευε τῷ Κυρίῳ ἐκτενῶς, ἐλεηθῆναι τὰς ψυχὰς ἡμῶν.

Ἦχος γ΄.

Θελχθεῖσα ταῖς μυστικαῖς καλλοναῖς, τοῦ γλυκυτάτου νυμφίου τῶν ψυχῶν, εἰς ὀσμὴν τῶν παθημάτων αὐτοῦ, ἔδραμες Χριστίνα ἀναβοῶσα· Φλέγει με ὁ πόθος σου Παμβασιλεῦ, τιτρώσκεταί μου ἡ καρδία, τῷ ὀξυτάτῳ βέλει, τῆς γλυκείας σου ἀγαπήσεως· τῷ ἔρωτί σου σφαγιάζομαι, ἵνα ζήσω ἐν σοὶ τῷ Κυρίῳ μου· δέξαι τὴν πληθὺν τῶν παθημάτων μου, τὴν ἐξεικονίζουσαν τὸ σωτήριον πάθος σου, καὶ δός μοι τὸν νυμφῶνά σου, εἰς αἰωνίαν μου κατοίκησιν. Ὅθεν τοῦ πόθου σου Μάρτυς μὴ ψευσθεῖσα, συμβασιλεύεις αὐτῷ εἰς αἰῶνας, αἰτουμένη ταῖς ψυχαῖς ἡμῶν, ἱλασμὸν ἁμαρτιῶν καὶ τὸ μέγα ἔλεος.

Ἦχος δ΄.

Δεῦτε φιλομάρτυρες πάντες, ἐν ὕμνοις ἐγκωμίων, τὴν τῷ Χριστῷ ἐπώνυμον ἀθληφόρον, Χριστίναν εὐλαβῶς εὐφημήσωμεν. Αὕτη γὰρ ἡ πολύαθλος, καταυγασθεῖσα τῷ ἀνεσπέρῳ φωτί, τῆς ἀληθινῆς τοῦ Θεοῦ ἐπιγνώσεως, μηδαμῶς τοῖς ξοάνοις θυσίαν προσένειμεν, ἀλλὰ ταῦτα συντρίψασα, τοῖς πτωχοῖς διαδέδωκεν· ἐντεῦθεν τοῦ γεννήτορος ἀγνοοῦντος, τοὺς ὅρους τῆς οἰκείας φύσεως, τῶν ἀλγεινῶν βασάνων κατατολμήσασα, ὡς προσφορὰν εὐαπόδεκτον προσήγαγε, μαρτυρικῶς ἑαυτὴν τῷ Σωτῆρι. Ὅθεν πλουσίως παρ᾽ αὐτοῦ, θαυμάτων χάριν κομισαμένη, ἀσθενειῶν τῶν κατ᾽ ἄμφω λυτροῦται, τοὺς καταφεύγοντας πιστῶς, τῇ ἀντιλήψει αὐτῆς καὶ βοῶντας· Ὁ θαυμαστὸς ἐν τοῖς ἁγίοις σου Μάρτυσι, Κύριε δόξα σοι.

Ἦχος πλ. α΄.

Μάρτυς Χριστίνα πολύαθλε, τίς σε κατ᾽ ἀξίαν ἐπαινέσει; Πατρικὴν γὰρ βδελυξαμένη ἀσέβειαν, εὐσέβειαν ἠγάπησας, καὶ αὐτῆς δυνάμει ἀῤῥενωθεῖσα, βασάνων τε καὶ θανάτου κατεφρόνησας· διὸ καὶ ἐν τῷ σταδίῳ, πάσχουσα ἀνεκραύγαζες· Χριστός ἐστι ἡ ζωὴ καὶ ἀνάστασις, τῶν εἰς αὐτὸν πεποιθότων, ὁ ἐπαγγείλας ἀψευδῶς, ὅτι ὁ πιστεύων εἰς αὐτόν, κἂν ἀποθάνῃ ζήσεται. Αὐτὸν οὖν ἐκτενῶς καθικέτευε, ὑπὲρ τῶν ψυχῶν ἡμῶν.

Δόξα Πατρί. Ἦχος πλ. α΄.

Τὴν καλλιπάρθενον ἀμνάδα τοῦ Χριστοῦ, τὴν ἐν πᾶσιν ἁγνὴν καὶ ἄμωμον, Χριστίναν τὴν ἀοίδιμον, τῶν εὐσεβῶν οἱ δῆμοι συνδραμόντες, ἀνευφημήσωμεν κράζοντες· Χαίροις ἡ ἁπάντων τῶν γεηρῶν, ὡς σφαλλομένων νουνεχῶς ὑπεριδοῦσα, καὶ διὰ τὴν ὄντως ἐν Κυρίῳ ζωήν, βασάνων πολυτρόπων κατατολμήσασα· χαίροις ἡ αἱμάτων σου τοῖς κρουνοῖς, εἰδωλομανίας τὰ ῥεῖθρα ξηράνασα, καὶ διὰ πυρὸς μετασχεῖν ἀξιωθεῖσα, τῆς δρόσου μυστικῶς τῆς θεώσεως· χαίροις Παρθενομάρτυς σεμνή, ἡ οὐρανίων ἐπάθλων τυχοῦσα, ἐν ἀσθενείᾳ φύσεως, τὸν ἐχθρὸν θριαμβεύσασα. Ἀλλὰ πρέσβευε ἐκτενῶς ὑπὲρ ἡμῶν, τῷ ἐν Τριάδι προσκυνουμένῳ Θεῷ, ἐλεηθῆναι τὰς ψυχὰς ἡμῶν

Καὶ νῦν. Θεοτοκίον.

Μακαρίζομέν σε, Θεοτόκε Παρθένε, καὶ δοξάζομέν σε, οἱ πιστοὶ κατὰ χρέος, τὴν πόλιν τὴν ἄσειστον, τὸ τεῖχος τὸ ἄῤῥηκτον, τὴν ἀῤῥαγῆ προστασίαν, καὶ καταφυγὴν τῶν ψυχῶν ἡμῶν.

ΕΙΣ ΤΟΝ ΣΤΙΧΟΝ, Στιχηρὰ Προσόμοια.
Ἦχος β΄. Ὅτε ἐκ τοῦ ξύλου.

Ὅτε κατηυγάσθης τὴν ψυχήν, τῆς θεογνωσίας Χριστίνα, τῷ ἀνεσπέρῳ φωτί, τότε τὴν καχέσπερον, σκοτίαν ἔλιπες, τῶν εἰδώλων καὶ χαίρουσα, ἴχνῶν ἐπελάβου, τοῦ ὡραιοτάτου σου, Νυμφίου ἔνδοξε. Ὅθεν μυστικῶς ἐνυμφεύθης, ἔνδοξε αὐτῷ ἀνενδότως, μαρτυρίου στάδιον τελέσασα.

Στίχ. Ὑπομένων ὑπέμεινα τὸν Κύριον...

Ὅτε ἀσεβείας πατρικῆς, ἤλεγξας ὡς πλήρης ἀνδρείας, τὴν ἐπηρμένην ὀφρύν, τότε προσωμίλησας, πληγαῖς καὶ μάστιξι, ἐν αἷς ἔστης ἀκλό-

www.tezaurliturgic.ro

νητος, ἐκφαίνουσα πᾶσι, τὴν ἀκαταμάχητον, ἰσχὺν τῆς πίστεως. Ὅθεν τοῦ Κυρίου τὸ πάθος, ὡς μιμησαμένη Χριστίνα, παρ᾽ αὐτοῦ ἀξίως ἐστεφάνωσαι.

Στίχ. Καὶ ἔστησεν ἐπὶ πέτραν τοὺς πόδας μου...

Ὅτε ἐπορφύρωσας λαμπρῶς, Μάρτυς τὴν στολὴν τῆς ἁγνείας, ταῖς τῶν αἱμάτων ῥοαῖς, τότε προσεχώρησας, ὅλη ἐκλάμπουσα, πρὸς νυμφῶνα τὸν ἄφθαρτον, ζωῆς ἀκηράτου, ἔνθα ἐκοινώνησας, χαρᾶς τῆς κρείττονος. Ὅθεν πρὸς Θεὸν παῤῥησίας, χάριν ὡς πλουτοῦσα Χριστίνα, πρόστηθι εὐχαῖς σου τῶν τιμώντων σε.

Δόξα Πατρί. Ἦχος β΄. Γεωργίου.

Τῇ χριστωνύμῳ σου κλήσει, τὴν πρᾶξιν κατάλληλον ἔδειξας ὡς ἀληθῶς, τῇ παρθενικῇ σου καθαρότητι, νυμφευθεῖσα τῷ Χριστῷ, εὐδοκίᾳ τοῦ Πατρός, καὶ συνεργείᾳ τοῦ Πνεύματος· μαρτυρίου δὲ παλαίσμασι στεῤῥοῖς, ὑπερήστραψας λαμπρότερον, τῶν ἡλιακῶν ἀκτίνων. Διὸ ὡς θυσία καθαρὰ καὶ ἄμωμος, τῇ οὐρανίῳ προσηνέχθης τραπέζῃ, τῶν παρθένων καὶ Μαρτύρων ταῖς χορείαις, εἰς αἰῶνας συνηδομένη· μεθ᾽ ὧν αἴτησαι Χριστίνα φερώνυμε, δωρηθῆναι τοῖς τιμῶσί σε, εἰρήνην καὶ μέγα ἔλεος.

Καὶ νῦν. Θεοτοκίον.

Τὴν πᾶσαν ἐλπίδα μου, εἰς σὲ ἀνατίθημι, Μῆτερ τοῦ Θεοῦ, φύλαξόν με ὑπὸ τὴν σκέπην σου.

Νῦν ἀπολύεις, τὸ Τρισάγιον καὶ τὸ Ἀπολυτίκιον.

Ἦχος α΄. Τῆς ἐρήμου πολίτης.

Ἀληθεύουσαν κλῆσιν, τὴν χριστώνυμον δείξασα, διὰ πολυτρόπων βασάνων, ὦ Χριστίνα πολύαθλε, νενύμφευσαι ἐν δόξῃ τῷ Χριστῷ, καὶ ἔνδον τοῦ νυμφῶνος τῆς ζωῆς, γεγονυῖα τῶν θαυμάτων τὰς δωρεάς, παρέχεις τοῖς ἐκβοῶσι· Δόξα τῷ σὲ ἰσχύσαντι Χριστῷ, δόξα τῷ σὲ θαυμαστώσαντι, δόξα τῷ χορηγοῦντι διὰ σοῦ, πᾶσι τὰ κρείττονα.

Ἕτερον. Ἦχος δ΄. Ταχὺ προκατάλαβε.

Πατρῴαν ἀσέβειαν, βδελυξαμένη σαφῶς, τὴν τρίβον διήνυσας, τῆς εὐσεβείας στεῤῥῶς, Μαρτύρων ἐν αἵματι· ὅθεν ὡραϊσμένη, τῆς ἀθλήσεως κόσμῳ, γέγονας τοῦ νυμφῶνος, τῆς θεώσεως ἔνδον, Χριστίνα ἀθληφόρε· διὸ εὐφημοῦμέν σε.

Θεοτοκίον τοῦ ἤχου καὶ Ἀπόλυσις.

## ΕΙΣ ΤΟΝ ΟΡΘΡΟΝ

Μετὰ τὴν α΄ Στιχολογίαν, Κάθισμα.
Ἦχος α΄. Τὸν τάφον σου.

Ἀμνὰς ὡς λογική, τοῦ Κυρίου Χριστίνα, ὑπήνεγκας στεῤῥῶς, πολυτρόπους βασάνους, καὶ πέλταις ἐνήθλησας, ἀηττήτῳ φρονήματι. Ὅθεν στέφανον, ἀθανασίας ἐδέξω, ἱκετεύουσα, ὑπὲρ τῶν πίστει τιμώντων, τὴν θείαν σου ἄθλησιν.

Δόξα Πατρί. Ὅμοιον.

Εἰδώλων νουνεχῶς, τὴν ἀπάτην φυγοῦσα, ἐπίστευσας Χριστῷ, τῷ Σωτῆρι τοῦ κόσμου, καὶ τούτου τῷ ἔρωτι, ὥσπερ ἄσαρκος ἤθλησας. Ὅθεν ἔλαβες, ἀθανασίας τὴν χάριν, καὶ ἐτρύφησας, τῆς ὑπὲρ νοῦν εὐφροσύνης, Χριστίνα πολύαθλε.

Καὶ νῦν. Θεοτοκίον.

Ὡράθης Χερουβίμ, ὑπερέχουσα Κόρη, ἐδείχθης Σεραφίμ, Μαριὰμ ὑπερτέρα, ἀγκάλαις σου βαστάσασα, τὸν Δεσπότην τῆς κτίσεως· ὃν δοξάζουσι, τῶν οὐρανῶν αἱ δυνάμεις· ὅθεν πάντες σε, ὡς ἀληθῆ Θεοτόκον, συμφώνως δοξάζομεν.

Μετὰ τὴν β΄ Στιχολογίαν, Κάθισμα.
Ἦχος δ΄. Ὁ ὑψωθεὶς ἐν τῷ Σταυρῷ.

Μὴ πτοηθεῖσα τοῦ πατρὸς τὴν μανίαν, οὐ χαυνωθεῖσα δικαστῶν ταῖς θωπείαις, οὐδὲ βασάνων πτήξασα, σεμνὴ τὸ φοβερόν, τῶν Μαρτύρων ἤνυσας, ἀνενδότως τὸν δρόμον, καὶ λαμπρῶς κατέπαυσας, εἰς σκηνὰς οὐρανίους, ὑπὲρ ἡμῶν πρεσβεύουσα ἀεί, τῶν σὲ τιμώντων Χριστίνα χριστώνυμε.

Δόξα Πατρί. Ὁ αὐτός. Ταχὺ προκατάλαβε.

Λιποῦσα ὡς πάνσοφος, τὸ ἀσεβὲς τοῦ πατρός, νομίμως ἠγώνισαι, ἐν τῷ Σωτῆρι Χριστῷ, Χριστίνα πανεύφημε. Ὅθεν στολισαμένη, μαρτυρίου τοῖς ἄθλοις, ἔδραμες μετὰ δόξης, πρὸς τὸν θεῖον νυμφῶνα, πρεσβεύουσα ἀπαύστως, ὑπὲρ τῶν τιμώντων σε.

Καὶ νῦν. Θεοτοκίον.

Ῥοαῖς τοῦ ἐλέους σου, ὡς τοῦ ἐλέους πηγή, ἀπόπλυνον δέομαι, τὴν ῥυπωθεῖσαν ψυχήν, Ἁγνὴ τοῦ οἰκέτου σου, ἵνα ἐν κατανύξει, καὶ συνέσει καρδίας, Δέσποινα μεγαλύνω, τὴν φρικτήν σου λοχείαν, δι᾽ ἧς τῆς καταδίκης, Ἀδὰμ ἠλευθέρωμαι.

www.tezaurliturgic.ro


Μετὰ τὸν Πολυέλεον, Κάθισμα.
Ἦχος δ΄. Ἐπεφάνης σήμερον.

Τοῦ Κυρίου χάριτι, ἰθυνομένη, θολεροὺς ἐξήρανας, τῆς ἀθεΐας ποταμούς, καὶ εὐσεβείας ἀνέβλυσας, τῇ Ἐκκλησίᾳ, πηγὰς ὦ χριστώνυμε.

Δόξα Πατρί. Ἦχος πλ. α΄. Τὸν συνάναρχον Λόγον.

Σωφροσύνῃ τὴν ὥραν, ὑπερφαιδρύνασα, τῆς σῆς νεότητος Μάρτυς, μαρτυρικῶν ἀρετῶν, ἐκοσμήθης εὐκλεῶς, τῷ διαδήματι· ὅθεν Χριστίνα τῷ Χριστῷ, συμβασιλεύεις εὐκλεῶς, θαυμάτων ἀφθόνως ῥεῖθρα, ἀναβλύζουσα τοῖς τιμῶσι, τὴν ἄθλησίν σου εὐλαβῶς ἐν ᾠδαῖς.

Καὶ νῦν. Θεοτοκίον.

Χαῖρε ἄχραντε Κόρη, καὶ ὑπερύμνητε, τοῦ Πατρὸς ἡ τὸν Λόγον, ἀποτεκοῦσα φρικτῶς· χαῖρε Δέσποινα Μαρία ἀπειρόγαμε· χαῖρε ἡ πύλη τῆς ζωῆς· χαῖρε τὴν φύσιν τῶν βροτῶν, θεώσασα τῷ σῷ τόκῳ· ἀνύμφευτε χαῖρε νύμφη, ἡ προστασία τῶν τιμώντων σε.

Οἱ Ἀναβαθμοί, ἤτοι· τὸ α΄ Ἀντίφωνον τῶν Ἀναβαθμῶν τοῦ δ΄ ἤχου καὶ τὸ Προκείμενον.

Ὑπομένων ὑπέμεινα τὸν Κύριον καὶ προσέσχέ μοι.

Στίχ. Καὶ ἔστησεν ἐπὶ πέτραν τοὺς πόδας μου καὶ κατεύθυνε τὰ διαβήματά μου.

Εὐαγγέλιον, ζήτει τῇ Δευτέρᾳ τῆς ιε΄ Ἑβδομάδος Ματθαίου.

Ὁ Ν΄. Δόξα Πατρί. Ταῖς τῆς Ἀθληφόρου... Καὶ νῦν. Ταῖς τῆς Θεοτόκου...

Ἰδιόμελον. Ἦχος πλ. β΄.

Στίχ. Ἐλέησόν με, ὁ Θεός, κατὰ τὸ μέγα ἔλεός σου...

Ἀθληφόρε Χριστίνα χριστώνυμε, ὥραν καὶ κάλλος νεότητος, ὡς πάνσοφος ὑπεριδοῦσα, μαρτυρικῶς ἐν σταδίῳ ἠνδραγάθησας, καὶ τὸν ἀρχέκακον ὄφιν κατῄσχυνας· Χριστὸν γὰρ ἀγαπήσασα, τὴν πατρικὴν ἀσέβειαν ἀπεβδελύξω, καὶ προείλου ἐκχῦσαι τὸ αἷμά σου, ἵνα ζωὴν κληρονομήσῃς, ἐν τῷ θείῳ Νυμφίῳ σου· ᾧ νυμφευθεῖσα μαρτυρικῶς, ὑπὲρ ἡμῶν αὐτὸν καθικέτευε, τῶν πίστει εὐφημούντων σε.

Σῶσον, ὁ Θεός, τὸν λαόν σου...

Εἶτα· ὁ Κανὼν τῆς Θεοτόκου καὶ οἱ Κανόνες τῆς Ἁγίας. Κανὼν πρῶτος τῆς Ἁγίας, οὗ ἡ Ἀκροστιχίς· «Χριστοῦ σε μέλπω τὴν ἐπώνυμον Κόρη. Ἰωσήφ».

Ὠδὴ α΄. Ἦχος πλ. δ΄. Ὑγρὰν διοδεύσας.

Χαίροις ἀθληφόρε πανευκλεής, ἡ Μάρτυς ὀφθεῖσα, τοῦ Σωτῆρος ἡμῶν Χριστοῦ, Χριστίνα καὶ πᾶσαν ἐκλιποῦσα, πατρῴαν πλάνην καὶ ἀσέβειαν.

Ῥαγέντα καὶ κείμενον πρὸ ποδῶν, κόρης Ἀθληφόρου, καθορῶντες τὸν δυσμενῆ, αἶνον τῷ Σωτῆρι δῶμεν πάντες, τῷ νικηφόρον αὐτὴν ἀναδείξαντι.

Ἰδεῖν τοῦ Νυμφίου τοῦ καθαροῦ, κάλλος τὸ ὡραῖον, ἐπεθύμησας καθαρῶς· ὅθεν θείοις ἄθλοις Ἀθληφόρε, περιφανῶς σεαυτὴν καθωράϊσας.

Θεοτοκίον.

Συνέλαβες Λόγον τὸν τοῦ Πατρός, σαρκὶ ἑνωθέντα, ὑπὲρ λόγον Μῆτερ ἁγνή, ὃν ἐπιποθήσασα Χριστίνα, τοῦ μαρτυρίου τὸ κλέος ἐκτήσατο.

Κανὼν δεύτερος τῆς Ἁγίας, φέρων Ἀκροστιχίδα ἐν τοῖς Θεοτοκίοις τήνδε· «Κυρίλλου».

Ἦχος πλ. β΄. Ὡς ἐν ἠπείρῳ πεζεύσας.

Πεποικιλμένη τῶν ἄθλων μαρμαρυγαῖς, τῷ Χριστῷ παρίστασαι, ὦ Χριστίνα εὐκλεῶς, αἰτουμένη ἅπασιν ἡμῖν, ἱλασμὸν ἁμαρτιῶν καὶ μέγα ἔλεος.

Χριστὸν ποθοῦσα ψυχῆς σου τὸν ἐραστήν, τῶν βασάνων ἤνεγκας, ὦ Χριστίνα τὰς πληγάς, ὥσπερ ἄλλου πάσχοντος τινός, καὶ κατέβαλες ἐχθρὸν τὸν πολυμήχανον.

Θεογνωσίας τὸ φέγγος τοῖς ἐν νυκτί, τῆς ἀπάτης ἤστραψας, ὦ Χριστίνα καθαρῶς, εὐσεβείας ῥώμῃ ἀσεβῶν, τὰ ὑψώματα στεῤῥῶς κατεδαφίσασα.

Θεοτοκίον.

Καταιγιζόμενος Κόρη τῶν συμφορῶν, τρικυμίαις πάντοθεν, σοὶ προστρέχω ἐκβοῶν· Συμπαθῶς πρυτάνευσον κἀμοί, οἰκτιρμῶν σου δωρεὰς ὥσπερ φιλεύσπλαγχνος.

Κανὼν πρῶτος. Ὠδὴ γ΄. Σὺ εἶ τὸ στερέωμα.

Τείνασα τὰ ὄμματα, καὶ τὴν διάνοιαν ἔνδοξε, εἰς οὐρανὸν διὰ τῶν κτισμάτων, τὸν σὸν Κτίστην

www.tezaurliturgic.ro

ἐπέγνωκας.

Ὄλβον ἀναφαίρετον, τὴν πρὸς τὸν Κύριον ἔσχηκας, πίστιν σεμνή· ὅθεν τὴν πενίαν, τῶν εἰδώλων κατέλιπες.

Ὕμνον χαριστήριον, τῷ Ποιητῇ Χριστῷ ἔμελπες, ξύλῳ δεινῶς Μάρτυς προσδεθεῖσα, καὶ ξεσμοὺς ὑποφέρουσα.

Θεοτοκίον.

Στῆσόν μου τὸν τάραχον, τῶν λογισμῶν ἁγνὴ Δέσποινα, παῦσον ψυχῆς πᾶσαν ἀθυμίαν, τὸν Χριστὸν ἡ κυήσασα.

Κανὼν δεύτερος. Οὐκ ἔστιν Ἅγιος.

Ῥωσθεῖσα σθένει θεϊκῷ, οὐ προσένειμας μάρτυς, τοῖς εἰδώλοις θυσίαν, καὶ θυσίαν καθαράν, Θεῷ Χριστίνα σαυτήν, μαρτυρίῳ, κραταιῷ προσήγαγες.

Εἰδώλων ξόανα πιστῶς, κατεσύντριψας μόνον, τὸν Χριστὸν ἐπιγνοῦσα, Λυτρωτήν τε καὶ Θεόν, Χριστίνα μάρτυς σεμνή, εὐσεβείας, ξίφος θεοχάλκευτον.

Πατρὸς θωπείαις μηδαμῶς, πειθομένη Χριστίνα, τοῦ Κυρίου τὸ πάθος, ἐμιμήσω ἀνδρικῶς, κολαστηρίων φρικτῶν, τὰς ἐφόδους, πίστει ὑπομείνασα.

Θεοτοκίον.

Ὑμνῶ σε Κόρη εὐσεβῶς, τὴν τοῦ Λόγου Μητέρα, τὴν λυτρώσασαν κόσμον, τῆς κατάρας τοῦ Ἀδάμ, ἀνακραυγάζων ἁγνή· Χαῖρε νύμφη, τοῦ Θεοῦ ἀνύμφευτε.

Κάθισμα. Ἦχος πλ. δ΄. Τὴν Σοφίαν καὶ Λόγον.

Δεδεγμένη τὸν ἄνωθεν φωτισμόν, τῶν εἰδώλων τὸ σκότος τὸ ζοφερόν, Χριστίνα κατέλιπες, καὶ Χριστῷ ἠκολούθησας· φωτὸς δὲ ἐν ταῖς τρίβοις, ἀξίως βαδίζουσα, μαρτυρίου ἄθλα, ἐτέλεσας μέγιστα· ὅθεν μετασχοῦσα, χαρισμάτων μεγίστων, Χριστῷ νῦν παρίστασαι, τῷ ὡραίῳ νυμφίῳ σου, σὺν Μαρτύρων τοῖς τάγμασι·, μεθ' ὧν νῦν ὡς Δεσπότῃ αὐτῷ, παῤῥησίᾳ πρέσβευε δεόμεθα, ἵνα κινδύνων ῥυσθῶμεν, διὰ σοῦ καὶ θλίψεων.

Δόξα Πατρί. Ἦχος γ΄. Θείας πίστεως.

Θείας πίστεως, τῇ συντονίᾳ, κράτος ὤλεσας, τῆς ἀσεβείας, ἀθληφόρε Χριστίνα χριστώνυμε, καὶ εὐσεβείας τὴν δόξαν ἐτράνωσας, τοῦ μαρτυρίου τοῖς ἄθλοις ἐμπέψασα. Ὅθεν μέτοχος, ἐγένου ζωῆς τῆς κρείττονος, ἡμῖν ἱλεουμένη τὸν Φιλάνθρωπον.

Καὶ νῦν. Θεοτοκίον.

Χαῖρε ἄχραντε, Παρθενομῆτορ, ἡ κυήσασα, Πατρὸς τὸν Λόγον, δίχα φυρμοῦ ἀληθῶς καὶ συγχύσεως, τὸν τῆς ἀρχαίας κατάρας λυτρώσαντα, τοὺς ἐξ Ἀδὰμ γηγενεῖς ὡς φιλεύσπλαγχνος· ὃν ἱκέτευε, ῥυσθῆναι ἐκ πάσης θλίψεως, τοὺς πίστει σε καὶ πόθῳ μακαρίζοντας.

Κανὼν πρῶτος. Ὠδὴ δ΄. Εἰσακήκοα Κύριε.

Ἐντρύφας ταῖς μάστιξι, θείαις ἡδομένη Μάρτυς χριστώνυμε, θεωρίαις τοῦ Νυμφίου σου, καὶ αὐτοῦ τῷ κάλλει ἀτενίζουσα.

Μὴ ἐνέγκας τὸν πόθον σου, τὸν πρὸς Χριστὸν Χριστίνα ὁ δείλαιος, σὸς πατὴρ καὶ ἀθεώτατος, αἰκισμοὺς βασάνων ἐπηπείλει σοι.

Ἐκολλήθην ὀπίσω σου, πόθῳ τετρωμένη σῆς ἀγαπήσεως, νικηφόρον με ἀνάδειξον, ἐν τῷ πάσχειν Μάρτυς ἀνεκραύγαζες.

Λαμπρυνθέν σου τὸ πρόσωπον, ταῖς καλλοποιαῖς τῶν ἄθλων λαμπρότησιν, ὡραιότητα ἀπέπεμπε, καὶ ἐνθέου δόξης ἀγαλλίασιν.

Θεοτοκίον.

Προφητῶν σε ὁ ἔνδοξος, πάλαι Ἡσαΐας ῥάβδον ὠνόμασεν, ἄνθος φέρουσαν τὸν Κύριον, Θεοτόκε Μήτηρ ἀειπάρθενε.

Κανὼν δεύτερος. Χριστός μου δύναμις.

Ὡράθης μάχαιρα, σεμνὴ ἀμφίστομος, διακόπτουσα πλάνης πᾶσαν ὁρμήν, ὦ Χριστίνα χάριτι, τοῦ ὑψωθέντος ἐν Σταυρῷ, καὶ λυτρώσαντος τὰ σύμπαντα.

Νεκρὸς γεγένηται, ὁ ἀνθρωπόλεθρος, μαρτυρίου σου ἄθλοις, καρτερικοῖς, ὦ Χριστίνα ἔνδοξε· σὲ γὰρ ἐνίσχυσε Χριστός, ὡς ὑπέσχετο χριστώνυμε.

Σαρκὸς τὰ στίγματα, καὶ τὰ σπαράγματα, τὰς ῥοὰς τῶν αἱμάτων τὰς εὐκλεεῖς, πάσας ἀριστείας σου, ἐν ἐγκωμίοις εὐφημῶ, ὦ χριστώνυμε γηθόμενος.

Θεοτοκίον.

Ῥοαῖς Θεόνυμφε, τῆς εὐσπλαγχνίας σου, καταδρόσισον δέομαι συμπαθῶς, Μῆτερ τὴν καρ-

www.tezaurliturgic.ro



δίαν μου, πυρὶ ἀστέκτῳ τῶν παθῶν, αὐχμωθεῖσαν ἀειπάρθενε.

Κανὼν πρῶτος. ᾨδὴ ε΄. Ὀρθρίζοντες βοῶμέν σοι.

Ὡς Ἄγγελος ἐν σώματι Μάρτυς, γεγενημένην, οὐράνιοι Ἄγγελοι, τροφῇ Ἀγγέλων σε ἔτρεφον.

Τὴν πέτραν τῆς ζωῆς οὐκ ἠρνήσω, Χριστίνα· ὅθεν πέτρᾳ σε προσδήσαντες, ἐχθροὶ τοῖς ὕδασιν ἔῤῥιψαν.

Ἡρπάγης πρὸς τὸ ὕψος πετάσασα, ὥσπερ τρυγών, πτεροῖς Θείου Πνεύματος, καὶ πρὸς τὸν Κτίστην κατέπαυσας.

Θεοτοκίον.

Νεκρὸν τῇ ἁμαρτίᾳ γενόμενον, ζώωσόν με, ζωὴν ἀναμάρτητον, ἁγνὴ Παρθένε κυήσασα.

Κανὼν δεύτερος. Ἐκ νυκτὸς ὀρθρίζοντα.

Πατρικὴν ἀσέβειαν μισήσασα, Μάρτυς χριστώνυμε, ἠκολούθησας Χριστῷ, τῷ δι' ἡμᾶς παθόντι, οὗ τῇ ἰσχύϊ ἐχθρῶν, φρυάγματα καθεῖλες.

Ψαλμικῶς τὸν Κύριον πλουτήσασα, δύναμιν ἄμαχον, καὶ θερμὴν καταφυγήν, πολύαθλε Χριστίνα, τῆς φθειρομένης σαρκός, ἀνδρείως οὐκ ἐφείσω.

Θεολόγῳ στόματι ἐκήρυξας, Μάρτυς ἐνώπιον, τῶν ἀδίκων δικαστῶν, Τριάδα τὴν Ἁγίαν, μὴ πτοηθεῖσα αὐτῶν, ὀφρὺν τὴν ἐπηρμένην.

Θεοτοκίον.

Ἱλασμὸς γενοῦ μοι τῇ πρεσβείᾳ σου, Δέσποινα ἄχραντε, καὶ διάσωσον δεινῶν, κινδύνων τὴν ζωήν μου, ἵνα γεραίρω ἀεί, θαυμάτων σου τὰ πλήθη.

Κανὼν πρῶτος. ᾨδὴ στ΄. Τὴν δέησιν ἐκχεῶ.

Ἐθέλχθη σου, καλλοναῖς ἡ καρδία, γλυκυτάτου ἐραστοῦ Ἀθληφόρε, καὶ εἰς ὀσμὴν τῶν αὐτοῦ παθημάτων, ἀναδραμοῦσα ἐκραύγαζες· Φλέγομαι, τῷ πόθῳ σου Παμβασιλεῦ, καὶ ἀγάπῃ τῇ σῇ σφαγιάζομαι.

Πατέρα σε, τὸν οὐράνιον Μάρτυς, ὁ γεννήτωρ κατιδὼν ἀγαπῶσαν, βαρβαρικὴν ἐπεδείξατο γνώμην, καὶ πολυτρόπῳ κολάσει ὑπέβαλε· τοὺς ὅρους γὰρ ὁ δυσσεβής, τῆς οἰκείας ἠγνόησε φύσεως.

Ὡς κρίνον, ταῖς τῶν Μαρτύρων κοιλάσιν, ὡς ἡδύπνοον ἐξήνθησας ῥόδον, μυρεψικὴν ἀποστάζουσα χάριν, καὶ τῶν πιστῶν τὰς καρδίας ἐμύρισας, χριστώνυμε Μάρτυς σεμνή, τῶν ἁγίων Ἀγγέλων συνόμιλε.

Θεοτοκίον.

Νοήσαντες, θεηγόροι Προφῆται, μυστηρίου σου Παρθένε τὸ βάθος, προφητικῶς προκατήγγειλαν Θείῳ, καταλαμπόμενοι πόῤῥωθεν Πνεύματι, Μητέρα σε παναληθῆ, τοῦ Δεσπότου τῶν ὅλων γενήσεσθαι.

Κανὼν δεύτερος. Τοῦ βίου τὴν θάλασσαν.

Μαστῶν τὴν ἀφαίρεσιν, καθυπέστης ἀπηνῶς, καὶ ἀνθ' αἱμάτων ἔνδοξε, γάλα μάρτυς ἀνέβλυσας θαυμαστῶς, Χριστίνα δοξάζουσα, τὸν Χριστὸν τὴν ἐλπίδα τῆς καρδίας σου.

Τροφήν σοι ἀπέστειλε, δι' Ἀγγέλου ὁ Θεός, καὶ τοῦ βυθοῦ σε ἔσωσε, τῆς θαλάσσης ὡς πάλαι τὸν Ἰωνᾶν, βραβεύων πολύαθλε, τὴν πολλὴν ἐν τοῖς ἄθλοις καρτερίαν σου.

Τὴν φύσιν ἡμέρωσας, ἰοβόλων ἑρπετῶν, καὶ τῆς καμίνου ἔσβεσας, πῦρ τῇ δρόσῳ Χριστίνα σῶν προσευχῶν· Χριστὸς γὰρ προσέσχε σοι, Προφητάναξ ὡς ἔφη ὁ σοφώτατος.

Θεοτοκίον.

Λαοὶ φυλαὶ ἅπασαι, ὦ Ἁγνὴ καὶ γενεαί, πιστῶς σε μακαρίζομεν, ὅτι Λόγον ἐκύησας τοῦ Θεοῦ, καὶ ἄφθορος ἔμεινας, ὡς πρὸ τόκου Μαρία μητροπάρθενε.

Κοντάκιον. Ἦχος δ΄. Ὁ ὑψωθεὶς ἐν τῷ Σταυρῷ.

Φωτοειδὴς περιστερὰ ἐγνωρίσθης, ἔχουσα πτέρυγας χρυσᾶς καὶ πρὸς ὕψος, τῶν οὐρανῶν κατέπαυσας Χριστίνα σεμνή· ὅθεν σου τὴν ἔνδοξον, ἑορτὴν ἐκτελοῦμεν, πίστει προσκυνοῦντές σου, τῶν λειψάνων τὴν θήκην, ἐξ ἧς πηγάζεις πᾶσιν ἀληθῶς, ἴαμα θεῖον, ψυχῆς τε καὶ σώματος.

Ἕτερον. Ἦχος πλ. δ΄. Τῇ Ὑπερμάχῳ.

Καταυγασθεῖσα τῷ φωτὶ Θεοῦ τῆς γνώσεως
τῆς εὐσεβείας τὴν ὁδὸν στεῤῥῶς διήνυσας
καὶ ἐνήθλησας Χριστίνα ἔρωτι θείῳ.
Ἀλλ' ὡς δόξης μετασχοῦσα τοῦ Κυρίου σου,
ταῖς πρεσβείαις σου μὴ παύσῃ προστατεύουσα,
τοὺς βοῶντάς σοι· χαίροις Μάρτυς χριστώνυμε.

www.tezaurliturgic.ro

Ὁ Οἶκος.

Εὐθαλὲς ὥσπερ ῥόδον, ἀκανθώδους ἐκ ῥίζης, ἀνθήσασα θεόφρον Χριστίνα, τοῦ μαρτυρίου τὴν ὀσμήν, τῇ τοῦ Χριστοῦ Ἐκκλησίᾳ διέπνευσας, δι' ἧς εὐφραίνεις πάντοτε, τοὺς εὐλαβῶς σοι μελῳδοῦντας·

Χαῖρε τὸ κλέος τῆς παρθενίας·
χαῖρε ἡ δόξα τῆς Ἐκκλησίας.
Χαῖρε τῶν φρονίμων παρθένων συνόμιλε·
χαῖρε τῶν ἁγίων Μαρτύρων συμμέτοχε.
Χαῖρε πλάνην καταλείψασα τῶν εἰδώλων ὁλικῶς·
χαῖρε ξόανα συντρίψασα τῆς ἀπάτης νουνεχῶς.
Χαῖρε ὅτι ἐῤῥύσθης τοῦ ἐχθροῦ τῶν παγίδων·
χαῖρε ὅτι καθεῖλες τῶν τυράννων τὸ θράσος.
Χαῖρε πατρὸς τὸ σέβας μισήσασα·
χαῖρε ζωῆς τῷ πόθῳ ἀθλήσασα.
Χαῖρε Χριστῷ τῷ Θεῷ νυμφευθεῖσα·
χαῖρε αὐτῷ ἐν Ἐδὲμ παρεστῶσα.
Χαίροις Μάρτυς χριστώνυμε.

Μηνολόγιον.

Τῇ ΚΔ΄ τοῦ αὐτοῦ μηνός, Μνήμη τῆς ἁγίας ἐνδόξου μεγαλομάρτυρος Χριστίνης.

Στίχοι.

Τὴν Χριστίναν ἥνωσε Χριστῷ νυμφίῳ
Νύμφη ἄμωμον αἷμα τοῦ μαρτυρίου.

Εἰκάδι βλῆτο τετάρτῃ Χριστίνα ὀξέσι πέλταις.

Συναξάριον.

Αὕτη ἦν ἐκ πόλεως Τύρου, Οὐρβανοῦ τινος στρατηλάτου θυγάτηρ. Ὃς ἐν πύργῳ ὑψηλῷ ταύτην ἀγαγὼν καὶ τοὺς ἑαυτοῦ θεοὺς ἐκ χρυσοῦ καὶ ἀργύρου καὶ ἐξ ἄλλης τιμίας κατασκευασθέντας ὕλης, ἐν αὐτῷ διαιτᾶσθαι αὐτὴν διωρήσατο καὶ θυσίαν τοῖς εἰδώλοις προσφέρειν· ἡ δὲ ταῦτα συντρίψασα, τοῖς πένησι διαδέδωκε. Διὰ οὖν ταῦτα πάσαις τιμωρίαις ὑπὸ τοῦ πατρὸς ὑποβάλλεται καὶ ἐν φυλακῇ τίθεται· ἔνθα ἄσιτος προσκαρτερήσασα, ἀγγελικῆς μεταλαμβάνει τροφῆς, καὶ τὰ ἐκ τῶν πληγῶν ἕλκη θεραπεύεται. Εἶτα ἐν θαλάσσῃ βάλλεται καὶ ὑπὸ τοῦ Κυρίου τὸ θεῖον Βάπτισμα δέχεται καὶ ὑπὸ θείου Ἀγγέλου τῇ χέρσῳ ἐκδίδοται. Ἔπειτα γνωσθεῖσα ζῆν, εἰς φρουρὰν κατακλείεται, τοῦ πατρὸς αὐτῆς τοῦτο προστάξαντος· ὃς ἐν αὐτῇ τῇ νυκτὶ ἐκρήγνυται τῆς ζωῆς.

Δίωνος δὲ τὴν ἀρχὴν ἀντ' αὐτοῦ εἰληφότος, εἰς ἐξέτασιν ἄγει τὴν Μάρτυρα ὁ ἀλιτήριος. Ἡ δέ, τὸν Χριστὸν κηρύξασα, σφοδρῶς αἰκίζεται καὶ παράδοξα τελέσασα, ἐξεκαλέσατο εἰς τὴν πίστιν ἀνδρῶν χιλιάδας τρεῖς. Μετὰ δὲ τὸν Δίωνα, Ἰουλιανός τις τὴν ἡγεμονίαν ἐδέξατο καὶ καμίνῳ πυρὸς ὑποβάλλει αὐτὴν καὶ ἄφλεκτον φυλαχθεῖσαν, ἑρπετοῖς ἰοβόλοις καταδικάζει καὶ τοὺς μαστοὺς ἐκτμηθῆναι κελεύει, ἐξ ὧν ἀντὶ αἵματος γάλα ῥυῆναι φασί· καὶ τὴν γλῶτταν ἐκτμηθῆναι κελεύει. Καὶ τελευταῖον ὑπὸ τῶν στρατιωτῶν πέλταις βληθεῖσα, τῷ Θεῷ τὸ πνεῦμα παρέθετο.

Ταῖς αὐτῆς πρεσβείαις, ὁ Θεός, ἐλέησον ἡμᾶς. Ἀμήν.

Κανὼν πρῶτος. Ὠδὴ ζ΄. Παῖδες Ἑβραίων.

Ὕμνον τῷ πάντων εὐεργέτῃ, τῷ παφλάζοντι πυρὶ προσομιλοῦσα, ἀνεβόας τὴν σήν, δροσίζοντι καρδίαν· Εὐλογητὸς εἶ Κύριε, ὁ Θεὸς εἰς τοὺς αἰῶνας.

Μόνου Θεοῦ τυχεῖν ποθοῦσα, οὐκ ἐφρόντισας μελῶν φλογιζομένων, οὐκ ἠρνήσω Χριστόν, παρθένε μελῳδοῦσα· Εὐλογητὸς εἶ Κύριε, ὁ Θεὸς εἰς τοὺς αἰῶνας.

Ὄμβροις αἱμάτων σου τὰ ῥεῖθρα, ἀπεξήρανας τῆς εἰδωλομανίας· ἐπομβρίζεις δὲ νῦν, ἰάσεων πελάγη, Παρθενομάρτυς παύουσα, τὸν φλογμὸν τῶν παθημάτων.

Θεοτοκίον.

Νόμους Παρθένε ὑπερβᾶσα, τοὺς τῆς φύσεως, τῇ θείᾳ σου συλλήψει, ὑπὲρ φύσιν Θεόν, ἐκύησας βοῶσα· Εὐλογητὸς εἶ Κύριε, ὁ Θεὸς εἰς τοὺς αἰῶνας.

Κανὼν δεύτερος. Ἄφραστον θαῦμα.

Πλάνης ἐπάρσεις, μαρτυρικῶς ἐταπείνωσας, καὶ ὑψώθης θείαν πρὸς ζωήν, Χριστίνα σεμνή, τὴν μὴ διαπίπτουσαν, ἔνθα ἐπάθλων, πολλῶν ἀξιουμένη, τὸν Δεσπότην ἡμῖν, ἵλεων ποίει.

Ἄνθος ἐφύης, τῇ γεωργίᾳ τοῦ κρείττονος, ἐκ δυσώδους ῥίζης μυστικῶς, Χριστίνα κλεινή, κόσμῳ διαπνέουσα, τὴν εὐωδίαν, ἀεὶ τῆς εὐσεβείας· διό σε εὐλαβῶς, ὕμνοις τιμῶμεν.

Πυρὸς σιδήρου, εἱρκτῆς βασάνων κολάσεων, στεῤῥοτέρα χάριτι Θεοῦ, ὤφθης ἀληθῶς, μάρτυς ἀκατάπληκτε, καὶ χιλιάδας, ἀνδρῶν Χριστῷ προσῆξας, ὡς θείαν προσφοράν, σῇ καρτερίᾳ.

Θεοτοκίον.

Λαμπὰς Παρθένε, φωτὸς τοῦ θείου ὑπάρχουσα, φωταυγείᾳ χάριτος τῆς σῆς, ψυχῆς τῆς ἐμῆς, αὔγασον τὰ ὄμματα, ἵνα βοῶ σοι, ἀεὶ ἐν εὐφροσύνῃ· Τοῦ Θεοῦ ἡ σκηνή, χαῖρε Μαρία.

Κανὼν πρῶτος. Ὠδὴ η΄. Ἑπταπλασίως κάμινον.

Κυμαινομένην θάλασσαν, πειρασμῶν καὶ κολάσεων, θείᾳ κυβερνήσει, ἀβλαβῶς διέπλευσας, τὸν ὄφιν βυθίσασα, τῶν σῶν ἀγώνων Μάρτυς βυθῷ· ὅθεν Παραδείσου, τοὺς ἀκλύστους λιμένας, κατέλαβες βοῶσα· Ἱερεῖς εὐλογεῖτε, λαὸς ὑπερυψοῦτε, Χριστὸν εἰς τοὺς αἰῶνας.

www.tezaurliturgic.ro

Ὄφιν δεινὸν ἐνέκρωσας, ζωτικοῖς ἀγωνίσμασι, καὶ τῶν προσευχῶν σου, ἐπῳδαῖς ἀνήμερα, θηρία ἐκοίμισας, καὶ τῆς ἐκ τούτων βλάβης ἐκτός, ἔμεινας τῷ Κτίστῃ, μελῳδοῦσα Χριστίνα· Οἱ Παῖδες εὐλογεῖτε, Ἱερεῖς ἀνυμνεῖτε, λαὸς ὑπερυψοῦτε, Χριστὸν εἰς τοὺς αἰῶνας.

Ῥήματι ζῶντι ἤγειρας, τὸν θανόντα τοῖς δήγμασι, Μάρτυς ἀθληφόρε, ἰοβόλων ὄφεων· Χριστὸς γὰρ τὸν θάνατον, καταπατήσας θείᾳ ταφῇ, σοῦ τῶν προσευχῶν, καθυπακούει Χριστίνα· πρὸς ὃν βοᾷς ἀπαύστως· Ἱερεῖς εὐλογεῖτε, λαὸς ὑπερυψοῦτε, εἰς πάντας τοὺς αἰῶνας.

Θεοτοκίον.

Ἡ κραταιὰ βοήθεια, τῶν πιστῶν Ἀειπάρθενε, ῥῦσαί με τῆς πλάνης, τοῦ δολίου δράκοντος, δεινῶς πολεμοῦντός με, καὶ ταπεινῶσαι σπεύδοντος· σὺ γὰρ ἀπλανής, τῶν ἐπὶ σοὶ πεποιθότων, ὑπάρχεις ὁδηγία, τῶν βοώντων ἀπαύστως· Λαὸς ὑπερυψοῦτε, Χριστὸν εἰς τοὺς αἰῶνας.

Κανὼν δεύτερος. Ἐκ φλογὸς τοῖς Ὁσίοις.

Τὰς δριμείας βασάνους, χαίρουσα ἤνεγκας, καὶ πυρός τε τὴν ῥύμην, Μάρτυς χριστώνυμε, καὶ εἰδωλικῆς, ἀσεβείας κατέφλεξας, ὕλην ξηροτάτην, πυρὶ τοῦ μαρτυρίου.

Τὸ κατόρθωμα μέγα, τὸν σὸν χριστώνυμε, καὶ πανάριστον ὄντως, σοῦ τὸ ἐκνίκημα, ὅτι ἀσθενής, σεμνὴ φύσις ὑπάρχουσα, ἔκτεινας τὸν πάλαι, πτερνίσαντα τὴν Εὔαν.

Τὴν πατρῴαν ἀπάτην, Μάρτυς μισήσασα, τῷ Χριστῷ ἐνυμφεύθης, πόνοις ἀθλήσεως· ὃν ἐν οὐρανοῖς, παρεστῶσα ἱκέτευε, ἵνα σωτηρίας, ἡμεῖς ἀξιωθῶμεν.

Θεοτοκίον.

Ὁ τὴν σάρκα φορέσας, ἐκ τῶν αἱμάτων σου, προστασίαν παντός σε, κόσμου ἀνέδειξεν· ὅθεν εὐμενῶς, Μῆτερ τοῦτον ἱκέτευε, ἵνα λυτρωθῶμεν, πυρὸς τοῦ αἰωνίου.

Κανὼν πρῶτος. Ὠδὴ θ΄. Κυρίως Θεοτόκον.

Ἰδεῖν κατηξιώθης, κατηγλαϊσμένη, καὶ μαρτυρίου στολαῖς ἐξαστράπτουσα, τὸν σὸν νυμφίον Χριστίνα, μάρτυς πολύαθλε.

Ὡραῖόν σου τὸ κάλλος, ὅπερ ἀγαπήσας, ὁ ὑπὲρ ἅπαντας κάλλει ὡραῖος Χριστός, ἐπουρανίων θαλάμων, σὲ κατηξίωσε.

Συνήφθης Ἀσωμάτων, ἔνδοξε χορείαις, καὶ Ἀθλητῶν ὁμηγύρει συντέταξαι, ὑπὲρ ἡμῶν δυσωποῦσα, τὸν πανοικτίρμονα.

Ἡλίου λαμπροτέρα, ὤφθη σου ἡ μνήμη, μαρμαρυγαῖς χαρισμάτων τοῦ Πνεύματος, τοὺς σὲ τιμῶντας Χριστίνα, καταφαιδρύνουσα.

Θεοτοκίον.

Φιλάγαθε Παρθένε, τὴν κεκακωμένην, ταῖς ἁμαρτίαις ψυχήν μου ἀγάθυνον, καὶ αἰωνίου φλογός με, ῥῦσαι πρεσβείαις σου.

Κανὼν δεύτερος. Θεὸν ἀνθρώποις.

Ἁγνείας κάλλει φαιδρῶς ἐκλάμπουσα, μαρτυρικῶς Χριστίνα, τῷ Κυρίῳ νενύμφευσαι, αὐτῷ προῖκαν πάνσεμνε, τὸ αἷμα τὸν σόν, δοῦσα ἐν εὐφροσύνῃ· ᾧ παρεστῶσα νῦν, μνημόνευε πάντων, τῶν ᾠδαῖς ἀνευφημούντων σε.

Συνοῦσα Μάρτυς Ἀγγέλων τάγμασι, καὶ Ἀθλητῶν τῆς δόξης, ἰσοστάσιος πέλουσα, τοῖς ἐν πίστει σπεύδουσι, σῷ θείῳ ναῷ, πάρεσο ὦ Χριστίνα, ῥύστης καὶ σύμμαχος, δυνάμει μεγίστῃ, τῆς πρεσβείας σου πρὸς Κύριον.

Τῶν ἐκ καρδίας ὑμνολογούντων σε, γενοῦ σεμνὴ Χριστίνα, προστασία οὐράνιος· κἀμοὶ δὲ ὑφάναντι, ψυχῆς ἐν χαρᾷ, τούσδε τοὺς ὕμνους Μάρτυς, δίδου τὴν χάριν σου, ἐξ ἐπικειμένων, συμφορῶν με διασῴζουσα.

Θεοτοκίον.

Ὑμνῶ σε πόθῳ, τὴν Ἀειπάρθενον· καὶ γὰρ οὐκ ἔχω πλήν σου, ὁ ἀχρεῖος ἀντίληψιν· ταχέως οὖν πρόφθασον, καὶ τοῦ δυσμενοῦς, ῥῦσαι με τῶν ἀρκύων, ἵνα κραυγάζω σοι· Χαῖρε Θεομῆτορ, τοῦ Κυρίου μου λοχεύτρια.

Ἐξαποστειλάριον. Ὁ οὐρανὸν τοῖς ἄστροις.

Ὡς ἱδρυμένη ἐν πέτρᾳ, τῆς θείας πίστεως Χριστοῦ, οὐκ ἐσαλεύθης Χριστίνα, ταῖς τῶν βασάνων προσβολαῖς, ἀλλ᾽ ἤθλησας καὶ καθεῖλες, ὑψώματα ἀσεβείας.

Ἕτερον. Ἐν Πνεύματι τῷ Ἱερῷ.

Ὡς εὔχρηστον καὶ τίμιον, τοῦ Δεσπότου σε σκεῦος, Χριστίνα χρηματίσασαν, κατὰ χρέος τιμῶμεν· ὑπῆρξας γὰρ ὡς ἀληθῶς, τῶν Μαρτύρων καύχημα, καὶ τῶν παρθένων ἡ δόξα, ἰατήρ τε δαψιλής, ἀνεδείχθης πρὸς Θεόν, τοῖς βρέφεσι τοῖς νηπίοις.

www.tezaurliturgic.ro

Θεοτοκίον.

Γεραίρουσι τὸν τόκον σου, Ἀσωμάτων αἱ τάξεις· χαρᾶς γὰρ τὰ ἐπίγεια, σὺ πεπλήρωκας μόνη· διό σε τὴν πανάμωμον, οἱ πιστοὶ δοξάζομεν, ἐν ὕμνοις δοξολογοῦντες· φῶς γὰρ σὺ τοῖς ἐν σκότει, ἐξανατέλλον ὡς ὄρθρος, ἀνέτειλας τῆς ἡμέρας.

ΕΙΣ ΤΟΥΣ ΑΙΝΟΥΣ

Ἱστῶμεν στίχ. δ΄ καὶ ψάλλομεν τὰ κάτωθι Στιχηρὰ Προσόμοια.

Ἦχος πλ. δ΄. Ὢ τοῦ παραδόξου θαύματος.

Μάρτυς Χριστίνα χριστώνυμε, τὴν πατρικὴν νουνεχῶς, ἀθεΐαν μισήσασα, τοῦ Χριστοῦ τοῖς ἴχνεσιν, εὐσεβῶς ἠκολούθησας, καὶ παριδοῦσα ἄνθος νεότητος, διὰ τὴν ὄντως ζωὴν ἐνήθλησας. Ὅθεν συνόμιλος, τῶν Μαρτύρων γέγονας ἐν οὐρανοῖς, δεξαμένη στέφανον, τὸν ἀμαράντινον.

Μάρτυς Χριστίνα χριστώνυμε, πρὸς τὸν νυμφίον Χριστόν, μυστικῶς ἀτενίζουσα, τῆς ψυχῆς τὰ ὄμματα, οὐκ ᾐσθάνου ὡς ἄσαρκος, τὰ πολυώδυνα κολαστήρια, ἐν οἷς ὀφθεῖσα ἀκαταγώνιστος, ἔδραμες χαίρουσα, πρὸς τὴν ὑπερκόσμιον ἀναψυχήν, καὶ Μαρτύρων γέγονας, δόξης συνόμιλος.

Μάρτυς Χριστίνα χριστώνυμε, ἐπεχομένη στεῤῥῶς, τῆς φωνῆς τοῦ Νυμφίου σου, πάσης κατεφρόνησας, κοσμικῆς ματαιότητος, καὶ ἐν σταδίῳ αὐτὸν κηρύξασα, ἐδέξω πέλταις τὸ τέλος χαίρουσα. Ὅθεν ἀνέδραμες, εἰς παστάδα πάνσεμνε φωτοειδῆ, πάντων μνημονεύουσα, τῶν εὐφημούντων σε.

Μάρτυς Χριστίνα χριστώνυμε, μαρτυρικὴν πρὸς Χριστόν, παῤῥησίαν πλουτήσασα, ὡς Μαρτύρων στάδιον, ἀνενδότως τελέσασα, αὐτῷ μὴ παύσῃ ἀεὶ πρεσβεύουσα, ῥυσθῆναι πόνων δεινῶν καὶ θλίψεων, τοὺς μακαρίζοντας, τὴν λαμπράν σου ἄθλησιν χαρμονικῶς, καὶ εὐφήμως ἄγοντας, τὴν θείαν μνήμην σου.

Δόξα Πατρί. Ἦχος πλ. α΄.

Καταλαμφθεῖσα μυστικῶς τὴν διάνοιαν, μαρμαρυγαῖς τῆς Θεοῦ ἐπιγνώσεως, τὴν πατρικὴν ἀθεΐαν ἀπεβδελύξω, καὶ τὰ ἀναίσθητα ξόανα συνέτριψας· ἀθλητικὴν δὲ ἰσχὺν ἀναλαβοῦσα, τοῖς τυράννοις μέχρις αἵματος ἀντικατέστης, μὴ πτοηθεῖσα αὐτῶν τὰς ἀπειλάς, μηδὲ χαυνωθεῖσα ἐπαγγελιῶν παροχαῖς· ὅθεν καθυποστᾶσα βασάνους πολυτρόπους, πέλταις βληθεῖσα τὸ ζῆν ἐξεμέτρησας, καὶ ἔργῳ τὴν χριστώνυμον κλῆσίν σου, Χριστίνα ἀληθεύουσαν ἐβεβαίωσας. Ἀλλ' ὡς δόξης τῆς ὑπὲρ νοῦν μετασχοῦσα, ἐν ταῖς σκηναῖς τῆς αἰωνίου ζωῆς, πρέσβευε ἐκτενῶς ὑπὲρ ἡμῶν, ἵνα ῥυσθῶμεν παντοίας ἀπειλῆς, κινδύνων τε καὶ θλίψεων.

Καὶ νῦν. Θεοτοκίον.

Μακαρίζομέν σε, Θεοτόκε Παρθένε, καὶ δοξάζομέν σε, οἱ πιστοὶ κατὰ χρέος, τὴν πόλιν τὴν ἄσειστον, τὸ τεῖχος τὸ ἄῤῥηκτον, τὴν ἀῤῥαγῆ προστασίαν, καὶ καταφυγὴν τῶν ψυχῶν ἡμῶν.

Δοξολογία Μεγάλη καὶ Ἀπόλυσις.

ΕΙΣ ΤΗΝ ΛΕΙΤΟΥΡΓΙΑΝ

Τὰ Τυπικά, οἱ Μακαρισμοὶ καὶ ἐκ τοῦ Κανόνος τῆς Ἁγίας ἡ γ΄ καὶ στ΄ Ὠδή. Ἀπόστολον, ζήτει τῷ Σαββάτῳ πρὸ τῶν Φώτων καὶ Εὐαγγέλιον, τῷ ιζ΄ Σαββάτῳ τοῦ Ματθαίου.

Κοινωνικόν.

Εἰς μνημόσυνον αἰώνιον ἔσται δίκαιος. Ἀλληλούϊα.

Μεγαλυνάριον.

Χαίροις ἡ αἰσχύνασα ἀνδρικῶς, ἀνδρῶν μισοθέων, τῇ ἐνστάσει σου τὴν ὀφρύν· χαίροις ὦ Χριστίνα, Χριστῷ ἡ νυμφευθεῖσα, προσάξασα ὡς προῖκα, αὐτῷ τὸ αἷμά σου.

*Δίστιχον.*

*Κυρίλλου δέχου ὦ Χριστίνα τοὺς ὕμνους*
*Αὐτῷ εὐχαῖς σου χορηγοῦσα τὰ κρείττω.*